*Μενέλαος Ἑλένην, ὃ δὲ Κλυταιμήστρας λέχος*
*ἐπίσημον εἰς Ἕλληνας Ἀγαμέμνων ἄναξ·*
*ᾧ παρθένοι μὲν τρεῖς ἔφυμεν ἐκ μιᾶς,*
*Χρυσόθεμις Ἰφιγένειά τ' Ἠλέκτρα τ' ἐγώ,*
*ἄρσην δ' Ὀρέστης, μητρὸς ἀνοσιωτάτης,*
*ἣ πόσιν ἀπείρῳ περιβαλοῦσ' ὑφάσματι*
*ἔκτεινεν· ὧν δ' ἕκατι, παρθένῳ λέγειν*
*οὐ καλόν· ἐῶ τοῦτ' ἀσαφὲς ἐν κοινῷ σκοπεῖν.*
*Φοίβου δ' ἀδικίαν μὲν τί δεῖ κατηγορεῖν;*
*πείθει δ' Ὀρέστην μητέρ' ἥ σφ' ἐγείνατο*
*κτεῖναι, πρὸς οὐχ ἅπαντας εὔκλειαν φέρον.*
*ὅμως δ' ἀπέκτειν' οὐκ ἀπειθήσας θεῷ·*
*κἀγὼ μετέσχον, οἷα δὴ γυνή, φόνου*
*Πυλάδης θ', ὃς ἡμῖν συγκατείργασται τάδε.*
*ἐντεῦθεν ἀγρίᾳ συντακεὶς νόσῳ [νοσεῖ]*
*τλήμων Ὀρέστης ὅδε πεσὼν ἐν δεμνίοις*
*κεῖται, τὸ μητρὸς δ' αἷμά νιν τροχηλατεῖ*
*μανίαισιν· ὀνομάζειν γὰρ αἰδοῦμαι θεὰς*
*Εὐμενίδας, αἳ τόνδ' ἐξαμιλλῶνται φόβῳ.*
*ἕκτον δὲ δὴ τόδ' ἦμαρ ἐξ ὅτου σφαγαῖς*
*θανοῦσα μήτηρ πυρὶ καθήγνισται δέμας,*
*ὧν οὔτε σῖτα διὰ δέρης ἐδέξατο,*
*οὐ λούτρ' ἔδωκε χρωτί· χλανιδίων δ' ἔσω*
*κρυφθείς, ὅταν μὲν σῶμα κουφισθῇ νόσου,*
*ἔμφρων δακρύει, ποτὲ δὲ δεμνίων ἄπο*
*πηδᾷ δρομαῖος, πῶλος ὣς ὑπὸ ζυγοῦ.*
*ἔδοξε δ' Ἄργει τῷδε μήθ' ἡμᾶς στέγαις,*

---

20 *μενέλαος S*, *μενέλεως O* | *κλυταιμνήστρας* libri 24 *δ'*] Elmsley, *τ'* libri 26 *ἔκτανεν B*, *ἔκτειν' aE* | *παρθένον S* et Alex. rhet. VIII p. 540 W. 27 *ἐῶ τοῦτ' A*, sed *ῶ τ* in ras. scr. $A^2$ 30 *φέρων A*, *φέρον* $A^2$ 31 *ἀπιθήσας A*, *ἀπειθήσας* $A^2$, *ἀπιθήσας a*, *ἀπιστήσας* anonymus 33 delet Herwerden 34 *νοσεῖ*] *δέμας* Hermann | *ἀγρίῳ συντακεὶς νοσήματι* R. Hirzel, fort. *ἀγρίᾳ σῶμα συντακεὶς νόσῳ* 35 *ὁ δὲ AaBE*, *ὅδε* $A^2$, *οὐδὲ L* in ras., *ὃς G* 38 *Εὐμενίδας*] *δεινῶπας* Dindorf, fort. *σεμναὶ γάρ* | versum post 40 in ima pagina in magna rasura a m. rec. habet ita ut literis praescriptis rectus ordo indicetur *G*, delet Nauck 39 *δὲ δὴ* om. *L* 40 *πῦρ A*, *πυρὶ* $A^2$ | *καθήγισται* Scaliger 42 *χλανίδων G* 45 *ὑπὸ*] Herwerden ex Athen. p. 108 B, *ἀπὸ* libri 46 *τόδε A*, *τῷδε* $A^2$ 46 sq. *τῷδε μηδὲ προσφωνεῖν τινα* (omissis verbis *μήθ' . . δέχεσθαι*) *E*